ποιητικοῦ, καὶ τότε ἔρρωται ἡ πρότασις αὕτη· ἢ περὶ τοῦ ὀργανικῶς ποιοῦντος, καὶ τοῦτο διχῶς· ἢ γὰρ τοῦτο νοεῖται ἐν τῇ ἰδίᾳ δυνάμει, καὶ οὕτως ἡ πρότασις αὕτη κρατεῖ· ἢ νοεῖται ἐν τῇ δυνάμει, εἴτε τῇ ἰδίᾳ, εἴτε τινὶ ἄλλῃ, καὶ οὕτως ἐστὶ ψευδής· πᾶν γὰρ ὀργανικῶς ποιοῦν τῇ δυνάμει ποιεῖ τοῦ ἀρχοειδοῦς ποιητικοῦ· ὅθεν δύναται ποιεῖν ὑπὲρ τὸ ἴδιον εἶδος· ὥσπερ ἡ θέρμη δρᾷ περὶ τὴν εἰσαγωγὴν τοῦ οὐσιώδους εἴδους τοῦ πυρὸς ἐν τῷ τὸ πῦρ γίνεσθαι, καθόσον ποιεῖ τῇ δυνάμει τοῦ οὐσιώδους εἴδους, ὅπερ ἐστὶν ἐν τῷ γεννῶντι πυρί, εἰ καὶ ἀφ' ἑαυτῆς οὐ δύναται ποιεῖν εἰ μὴ πρὸς τὸ τὴν θέρμην εἰσάγειν.

## LXXV.

### οε΄. Πότερον ἐν τῇ νοερᾷ οὐσίᾳ δεῖ εἶναι παντάπασιν ἀμεθεξίαν τῆς ὕλης.

Ἐπεὶ δέ φησιν ὁ διδάσκαλος ἀμεθεξίαν δεῖν εἶναι πρὸς τὴν ὕλην καθάπαξ νοερᾶς ἁπάσης οὐσίας, ἀπορῆσαι δεῖ τῷ λόγῳ πρὸς μείζω τῆς ἀληθείας σαφήνειαν. Ἐν γὰρ τῇ λογικῇ ψυχῇ, ἕως ἂν ἐν τῷ σώματι ᾖ, οὐκ ἔστιν ἀμεθεξία καθάπαξ τῆς ὕλης, καίτοι γε νοερᾷ οὔσῃ, ἀλλ' ἔστιν τρόπον τινὰ ἔνυλος, εἰ καὶ περὶ τοῦ ἀγγέλου τοῦτ' ἀδύνατόν ἐστι λέγεσθαι. Πρὸς δὴ τοῦτο διχῶς ἐστιν ἀποκρίνεσθαι δυνατόν· πρῶτον μέν, ὅτι ὁ διδάσκαλος οὗτος ἐνταῦθα περί τε ἀγγέλων ἡμῖν διαλέγεται καὶ τῶν κεχωρισμένων ψυχῶν· καὶ τοῦτο δῆλον ἐξ ὧν ἐν ἀρχῇ τοῦ παρόντος εἴρηται κεφαλαίου· ἐλέγετο γὰρ βούλεσθαι καὶ σκοπεῖν τὸν διδάσκαλον περὶ τῶν οὐσιῶν διορίσασθαι τῶν κεχωρισμένων, σαφὲς δέ ἐστιν ὡς, ἕως ἂν ἐν τῷ σώματι ᾖ ἡμῶν ἡ ψυχή, οὐ δύναται κεχωρισμένη οὐσία καλεῖσθαι, ἀλλ' εἴπερ ἄρα χωριστή, ὡς δυναμένη ποτὲ χωρίζεσθαι. Δῆλον δέ ἐστι τοῦτο καὶ δι' ὧν ἐνταῦθα προσέθηκεν· εἶπε γάρ· ἐν πάσῃ οὐσίᾳ νοούσῃ· ψυχὴ δέ, ἕως ἂν συνῇ τῷ σώματι, οὐκ ἔστι νοοῦσα, ἀλλὰ μᾶλλον ὁ ἄνθρωπός ἐστιν ὁ τῇ ψυχῇ νοῶν, ὡς ἐν πρώτῳ τῶν περὶ ψυχῆς φησὶν ὁ Φιλόσοφος, λέγων ὡς, εἴ τις λέγοι τὴν ψυχὴν νοεῖν καὶ θεωρεῖν, ὅμοιόν ἐστιν ὥσπερ εἰ λέγοι ταύτην ὑφαίνειν ἢ οἰκοδομεῖν, ὡσανεὶ τοῦτο λέγων ὥσπερ οὐ δεῖ λέγεσθαι τὴν ψυχὴν οἰκοδομεῖν, ἀλλὰ τὸν ἄνθρωπον, εἰ καὶ διὰ τῆς ψυχῆς, οὕτως οὐδὲ νοεῖν αὐτὴν δεῖ λέγειν, ἕως ἂν ᾖ συνημμένη τῷ σώματι, ἀλλὰ τὸν ἄνθρωπον νοεῖν δι' αὐτῆς. Ἀλλ' ἐπειδὰν χωρισθῇ τοῦ σώματος, ἔσται τῷ ὄντι νοοῦσα οὐσία, καὶ ἡ τοῦ νοεῖν ἐνέργεια ταύτῃ κυρίως ἀποδοθήσεται· αἱ γὰρ ἐνέργειαι οὐκ ἀποδίδονται εἰ μὴ τοῖς καθ' αὑτὰ | ὑφεστῶσι. f. 63v

Δεύτερον, δυνατόν ἐστι καὶ ἄλλως ἀποκρίνασθαι πρὸς τὴν αὐτὴν ἀπορίαν. Συγχωρῶ γὰρ τὴν ψυχὴν συνημμένην τῷ σώματι δυνατὸν εἶναι λέγεσθαι οὐσίαν νοοῦσαν, ἀλλὰ δίδωμι διάκρισιν τοῦ ἀΰλου· διχῶς γὰρ

19 *δυνατὸν* om L



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006

δυνατὸν οὐσίαν τινὰ ἄϋλον λέγεσθαι· ἕνα μὲν τρόπον ἁπλῶς, διὰ τὸ μήτε ὕλην ἔχειν μέρος αὐτῆς, μήτε τρόπῳ τινὶ ἑνοῦσθαι τῇ ὕλῃ ὡς εἶδος, καὶ οὕτως ὅ τε Θεὸς ἄϋλός ἐστιν, οἵ τε ἄγγελοι· ἕτερον δὲ τρόπον δυνάμεθα λέγειν οὐσίαν τινὰ ἄϋλον διὰ τὸ μήτε μέρος ἑαυτῆς ἔχειν τὴν ὕλην, μήθ' ἑνοῦσθαι τῇ ὕλῃ ὡς εἶδος ἐμβεβυθισμένον οἷον αὐτῇ καὶ κατειλημμένον ὑπὸ τοῦ δεκτικοῦ τῆς ὕλης, οὕτω δὲ ἡ λογικὴ ψυχή, καὶ ἕως ἂν ᾖ ἐν τῷ σώματι, ἄϋλόν ἐστιν εἶδος· οὔτε γὰρ μέρος αὐτῆς ἔχει τὴν ὕλην, οὔθ' ἑνοῦται τῇ ὕλῃ ὡς ἐμβεβαπτισμένον εἶδος αὐτῇ καὶ ὑπὸ ταύτης οἷον εἰπεῖν περιδεδραγμένον, καὶ οὕτω δεῖ νοεῖν τὸ τοῦ διδασκάλου, ὅτι κἀκεῖνος τὴν αὐτὴν εἶχε διάνοιαν. Δεῖ γάρ, φησίν, ἐν πάσῃ νοούσῃ οὐσίᾳ εἶναι παντάπασιν ἀμεθεξίαν τῆς ὕλης, ὡς μήτε μέρος αὐτῆς εἶναι τὴν ὕλην, μήτε εἶδος εἶναι αὐτὴν οἷον ἐμπεπιεσμένον τῇ ὕλῃ· καὶ οὐ φησιν ἁπλῶς μὴ δεῖν εἶναι ἡνωμένην τῇ ὕλῃ τὴν τοιαύτην οὐσίαν, ἀλλὰ τὸ μὴ δεῖν οἷον ἐμπεπιεσμένην εἶναι προστίθησιν, καθά φησιν αὐτὸς περὶ τῶν ἄλλων ἐνύλων εἰδῶν, ἃ καθάπαξ ἐμβεβάπτισται καὶ οἷον εἰπεῖν ἐμβεβύθισται τῇ ὕλῃ.

## LXXVI.

### οϛ'. Κατὰ τῶν τιθέντων ὕλην πνευματικήν.

Οὐδὲ δυνατόν τινα λέγειν. — Λύει τινὰ ἀντίθεσιν. Εἶπε γὰρ ἄν τις, ὡς ὅλη ἡ δύναμις τῆς προτεθείσης ἀποδείξεως ἵδρυται ἐν τῷ δεῖν ἅπαν ὃ ἂν ᾖ νοητόν, εἶναι καὶ ἄϋλον ἐκ τοῦ τὴν ὕλην ἐμπόδιον γίνεσθαι τῇ νοήσει. Ἀλλ' ἐγώ φημι μὴ πᾶσαν ὕλην ἐμπόδιον εἶναι τῷ νοεῖν, ἀλλὰ τὴν σωματικὴν μόνην ὕλην· ταύτην δὲ οὐ τίθεμεν ἐν ταῖς κεχωρισμέναις οὐσίαις, ἀλλὰ τὴν πνευματικὴν ὕλην. Ταύτην τοίνυν ἀποσκευάζεται τὴν ἀντίθεσιν, τοῦτ' ἀνατρέπων μόνον, τὸ τὴν σωματικὴν ὕλην κώλυμα γίνεσθαι τῆς νοήσεως, καὶ τοῦτο δείκνυσιν ἐκ τοιαύτης ἀκολουθίας.

Εἰ ἡ σωματικὴ ὕλη ἐνεπόδιζε τῇ νοήσει, εἴπετ' ἂν τὸ σωματικὸν εἶδος μὴ εἶναί ποτε ἐνεργείᾳ νοητόν· ἀλλὰ τὸ ἑπόμενόν ἐστι ψεῦδος· ἄρα καὶ τὸ ἡγούμενον. Τὸ ψεῦδος τοῦ ἑπομένου φανερόν ἐστιν· πᾶν γὰρ ἀπὸ τῆς ὕλης ἀφαιρεῖσθαι δυνάμενον ἐνεργείᾳ νοητὸν εἶναι δύναται· ἀλλ' αὐτὸ τὸ σωματικὸν εἶδος, ὥσπερ καὶ τὰ ἄλλα εἴδη, δύναται ἀφαιρεῖσθαι τῆς ὕλης· ἄρα καὶ τὰ λοιπά. Ἡ δὲ ἀκολουθία οὑτωσὶ δείκνυται· σαφὲς γάρ ἐστιν ὡς ἡ ὕλη οὐ λέγεται σωματικὴ εἰ μὴ διὰ τὸ ἔχειν εἶδος σωματικὸν δι' οὗ
f. 64 μορ|φοῦται. Εἰ τοίνυν ἡ σωματικὴ ὕλη κωλύει, τοῦτ' ἔσται τῷ λόγῳ τοῦ σωματικοῦ εἴδους· ἀλλὰ τοῦτ' ἀδύνατόν ἐστιν.

Ὡς ἂν δὲ κατὰ τῶν ἀντιτιθέντων δραστηριωτέρα ἡ ἐπιχείρησις γένηται, ᾧδε προχωρητέον ἂν εἴη. Εἰ ἡ σωματικὴ ὕλη ἐμπόδιον γίνεται τῇ νοήσει

---

8 *ὡς ἐμβεβυθισμένον εἶδος αὐτῇ καὶ ἐμβεβαπτισμένον* L 19 *Οὐδὲ δυνατόν τινα*: c. V, 1, p. 166, 27

Ε.Υ. Ζάττης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ οὐχ ἡ πνευματική, ἢ ὡς σωματικὴ τοῦτ' ἔχει τὸ κωλύειν, ἢ ὡς ὕλη μόνον· εἰ μὲν οὖν ὡς σωματική, ἕψεται τὸ ἄτοπον εἰς ὅπερ αὐτοὺς ἀπήγαγεν ὁ διδάσκαλος· εἰ δὲ ὡς ὕλη, πᾶσα ὕλη ἐμπόδιον οὕτως ἔσται· πᾶν γὰρ ὃ προσήκει τινί, ᾗ τοιόνδε ἐστί, καὶ παντὶ τοιῷδε προσήκει, ὥσπερ τὰ τῷ ἀνθρώπῳ προσήκοντα, ᾗ ἄνθρωπός ἐστιν, ἢ τὰ ἁρμόττοντα τῷ λευκῷ ἀνθρώπῳ, ᾗ λευκός ἐστιν ἄνθρωπος, καὶ παντὶ ἀνθρώπῳ, ὡς δὲ καὶ λευκῷ ἀνθρώπῳ παντὶ προσήκουσιν, καὶ οὕτω πᾶσα ὕλη κωλύσει τὴν νόησιν, οὐ μόνον ἡ σωματική, ἀλλὰ καὶ ἣν αὐτοί φασι πνευματικήν, καὶ οὕτως ἑαυτοὺς περιτρέπουσιν.

Ἰστέον δὲ ὅτι, κατὰ τοῦτον τὸν διδάσκαλον, ἡ ὕλη διπλῆ ἐστιν· ἡ μὲν κοινὴ καὶ οἷον εἰπεῖν ἀσήμαντος, ἡ δὲ σεσημασμένη καὶ ἄτομος· κοινὴ μέν, οἷον σὰρξ καὶ ὀστοῦν· ἄτομος δέ, οἷον αἵδε αἱ σάρκες καὶ ταδὶ τὰ ὀστά. Ὁ νοῦς τοίνυν χωρίζει τὸ εἶδος τοῦ φυσικοῦ, τῆς αἰσθητῆς ὕλης καὶ ἀτόμου, οὐ μέντοι τῆς αἰσθητῆς ὕλης τῆς κοινῆς· ὥσπερ τὸ τοῦ ἀνθρώπου εἶδος χωρίζει τούτων τῶν σαρκῶν καὶ τούτων τῶν ὀστῶν, ἅπερ οὐκ εἰσὶν ἐν τῷ λόγῳ τοῦ εἴδους, μέρη τοῦ ἀτόμου ὄντα, ὡς λέγεται ἐν ὀγδόῳ τῶν μετὰ τὰ φυσικά, καὶ διὰ τοῦτο καὶ χωρὶς τούτων δύναται θεωρεῖσθαι· ἀλλ' οὐ δύναται διὰ τοῦ νοῦ χωρισθῆναι τὸ εἶδος τῶν σαρκῶν καὶ τῶν ὀστῶν. Τὰ δὲ μαθηματικὰ εἴδη δύνανται χωρίζεσθαι διὰ τοῦ νοῦ τῆς αἰσθητῆς ὕλης συμπάσης, οὐ τῆς ἀτόμου δηλαδὴ μόνον, ἀλλὰ καὶ τῆς κοινῆς, οὐ μέντοι καὶ τῆς κοινῆς νοητῆς ὕλης, ἀλλὰ μόνον τῆς ἀτόμου. Ἡ γὰρ αἰσθητὴ ὕλη λέγεται ὕλη σωματικὴ διὰ τὸ ταῖς αἰσθηταῖς ὑποκεῖσθαι ποιότησι, τουτέστι τῷ θερμῷ, τῷ ψυχρῷ, τῷ μαλακῷ καὶ τοῖς τοιούτοις. Ἡ δὲ νοητὴ ὕλη ὑπόστασις λέγεται, καθόσον ὑφέστηκε τῇ ποσότητι· φανερὸν δὲ ὅτι ἡ ποσότης πρότερόν ἐστιν ἐν τῇ οὐσίᾳ ἢ αἱ αἰσθηταὶ ποιότητες· ὅθεν αἱ ποσότητες καὶ οἱ ἀριθμοί, καὶ αἱ διαστάσεις καὶ τὰ σχήματα, ἅτινα τῶν ποιοτήτων εἰσὶν ὅροι, δύνανται θεωρεῖσθαι καὶ ἄνευ τῶν αἰσθητῶν ποιοτήτων, ὅπερ ἐστὶν ἀφαιρεῖσθαι ταύτας τῆς αἰσθητῆς ὕλης. Ἀλλ' οὐ δύνανται θεωρεῖσθαι ἄνευ τοῦ νοεῖν τὴν οὐσίαν, τὴν τῇ ποσότητι ὑποκειμένην, ὅπερ ἂν ἦν ἀφαιρεῖσθαι ταύτας τῆς νοητῆς κοινῆς ὕλης. Δύνανται μέντοι θεωρεῖσθαι ἄνευ ταύτης | ἢ ἐκείνης τῆς οὐσίας, f. 64v ὅπερ ἐστὶν ἀφαιρεῖσθαι τῆς νοητῆς καὶ ἀτόμου ὕλης· εἰσὶ δέ τινα δυνάμενα καὶ τῆς νοητῆς καὶ κοινῆς ὕλης ἀφαιρεῖσθαι, ὥσπερ τὸ ὄν, τὸ ἕν, ἡ δύναμις, ἡ ἐντελέχεια, καὶ ἄλλα τοιαῦτα, ἅτινα δύνανται εἶναι καὶ πάσης ὕλης χωρίς· ὃ δῆλόν ἐστιν ἐπὶ τῶν ἀΰλων οὐσιῶν. Καὶ ἐπεὶ ὁ Πλάτων οὐ κατενόησεν ἐπὶ τῶν ἀΰλων οὐσιῶν τὸ εἰρημένον περὶ τοῦ τρόπου τῆς διπλῆς ἀφαιρέσεως, πάντα ὅσαπερ ἔφημεν ἀφαιρεῖσθαι διὰ τοῦ νοῦ ὑπέθετο ἐκεῖνος καὶ πραγματικῶς ἀφαιρεῖσθαι.

Ὅθεν ἐν τῇ ψυχῇ ἢ τῇ νοήσει. — Τὰς οὐσίας ἐνταῦθα διδάσκει

39 *Ὅθεν ἐν τῇ ψυχῇ*: c. V, 1, p. 166, 33

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἡμᾶς τῶν κεχωρισμένων οὐσιῶν, καὶ τοῦτο εἰς τρία διαιρεῖται τὸ μέρος· πρῶτον μὲν γὰρ διασαφεῖ τίς ἐστιν ἡ τῶν ἁπλῶν οὐσιῶν οὐσία· δεύτερον, διαιρεῖ τὴν οὐσίαν, τῆς τε ἁπλῆς οὐσίας καὶ τῆς συνθέτου· τρίτον, ὡς τὴν τῆς ὕλης καὶ τοῦ εἴδους σύνθεσιν ἐκ τῶν ἁπλῶν οὐσιῶν ἀποδιοπομπούμενος, φανεροῖ πότερον εἰλικρινῶς εἰσιν αὗται ἁπλαῖ, ἢ καί τις ἐν αὐταῖς εὑρίσκεται τρόπος συνθέσεως. Περὶ δὲ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον γὰρ τίθησι τίς ἐστιν ἡ οὐσία τοῦ ἁπλοῦ· δεύτερον, ἀποδείκνυσι. Φησὶ τοίνυν ὡς ἐν τῇ ψυχῇ ἢ τῇ νοήσει οὐδένα τρόπον, ὡς εἴρηται, δυνατόν ἐστιν εὑρεθῆναι σύνθεσιν ὕλης καὶ εἴδους, ὥστε κἂν τούτοις λαμβάνεσθαι τὴν οὐσίαν ὃν τρόπον ἐν ταῖς σωματικαῖς λαμβάνεσθαι φύσεσιν, ἐν αἷς οὐσία ἐστὶ τὸ ἀναθρῷσκον ἐκ τῆς τοῦ εἴδους πρὸς τὴν ὕλην ἑνώσεως, ὡς πρότερον εἴρηται. Ἀλλὰ τὸ εἶδος μόνον λέγεται εἶναι ἡ τούτων οὐσία, καὶ τοῦτο δῆλον ποιεῖ. Φαμὲν γάρ, φησίν, αὐτὰς συντεθεῖσθαι ἔκ τε τοῦ εἴδους καὶ τοῦ εἶναι· καὶ μαρτυρίαν εἰς τοῦτο κομίζει, λέγουσαν ὡς ἄρα ἡ νόησις ἔχει εἶδος καὶ εἶναι· εἶτα ἐξηγεῖται τί τῷ ὀνόματι τοῦ εἴδους ἐνταῦθα σημαίνεται, ὅτι τὸ τί ἐστι καὶ ἡ ἁπλῆ φύσις εἴτουν οὐσία τοῦ πράγματος, ὥστ᾽ ἴσον δύνασθαι σύνθεσίν τινα ἐξ εἴδους καὶ εἶναι εἰπεῖν, καὶ σύνθεσιν ἐξ οὐσίας καὶ τοῦ εἶναι. Ὅθεν δῆλόν ἐστιν ἐναργῶς, ὡς ἐν ταῖς ἁπλαῖς οὐσίαις εἶδος αὐτῶν ἐστιν ἡ οὐσία αὐτῶν.

## LXXVII.

### οζʹ. Εἰ ἄρα δύναται ἡ ψυχὴ λέγεσθαι νόησις.

Ἐπεὶ δὲ εὔλογόν ἐστιν ἀπορεῖν πῶς οὐ προσαγορεύεται καὶ ἡ ψυχὴ νόησις, καίτοι νοοῦσα, ἀλλὰ μόνον ὁ ἄγγελος, δεῖ καὶ πρὸς τοῦτο λόγον ὑπέχειν. Ἡ τοίνυν νόησις, κατὰ τὸν αὐτῆς λόγον, οὐκ ἔστι δύναμίς τις ἄλλη παρὰ τὸν νοῦν, ἀλλ᾽ ἐντελέχειαν σημαίνει τοῦ νοῦ, καὶ διὰ τὸ τοὺς ἀγγέλους ἐνεργείᾳ νοεῖν ἀεὶ καὶ νενοηκέναι, τοὐλάχιστον ἑαυτούς, διὰ τοῦτο νοήσεις προσαγορεύονται· τούτου δὲ μὴ προσήκοντος ὁμοίως τῇ ψυχῇ, οὐ προσαγορεύεται διὰ τοῦτο νόησις. Ἔστι δὲ καὶ ἄλλον ἀποδοῦναι
f. 65 λόγον. Ἡ νόησις | σημαίνει κυρίως τὴν ἁπλουστάτην ἐνέργειαν τοῦ νοῦ, ὡς ἀποτείνεται πρὸς ἁπλῆν τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι τοῦ πράγματος, καὶ οὐ τὴν ἐνέργειαν τοῦ συντιθέντος καὶ διαιροῦντος νοῦ. Ἐπεὶ γοῦν οἱ ἄγγελοι οὐ νοοῦσι τῷ συντιθέναι καὶ διαιρεῖν, ἀλλὰ μόνον αἱ ψυχαί, διὰ τοῦτο αὗται μὲν οὐ δύνανται λέγεσθαι νοήσεις, οἱ δὲ ἄγγελοι καὶ πάνυ λέγονται.

Καὶ πῶς τοῦτ᾽ ἂν εἴη ῥᾴδιον θεωρεῖν. — Νῦν δείκνυσι τὸ προκείμενον, τουτέστιν ὅτι μόνον τὸ εἶδός ἐστιν οὐσία ἐν ταῖς ἁπλαῖς φύσεσι. Πρὸς δὲ τὴν ἀπόδειξιν τούτου προλαβὼν ἀποδείκνυσιν, ὅτι δυνατὸν

32 *γοῦν*: *οὖν* L 36 *Καὶ πῶς τοῦτ᾽ ἂν εἴη*: c. V, 1, p. 167, 3

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐστιν εἶδός τι εἶναι χωρὶς ὕλης· τούτου γὰρ δήπου δειχθέντος, εὐθὺς καὶ τὸ προκείμενον δείκνυται· ἐν ἐκείνῃ γὰρ τῇ οὐσίᾳ, ἥτις εἶδος μόνον ἐστίν, ἀδύνατον οὐσίαν τινὰ δίδοσθαι, εἰ μὴ τὸ εἶδος μόνον.

## LXXVIII.

### οη΄. Εἰ τὸ εἶδος ἤρτηται τῆς ὕλης ἐν αὐτῷ τούτῳ τῷ εἶδος εἶναι.

Ὁ δὲ λόγος δι᾽ οὗ δείκνυσι δυνατὸν εἶναι χωρὶς ὕλης εἶδός τι εὑρίσκεσθαι τοιοῦτος ἐστίν. Ὅταν δύο τινὰ οὕτως ἔχωσι πρὸς ἄλληλα, ὥστε θάτερον αἴτιον εἶναι τοῦ λοιποῦ, καὶ οὐ τὸ ἀνάπαλιν, τὸ ἔχον τὸν τῆς αἰτίας λόγον εἶναι δύναται χωρὶς τοῦ λοιποῦ, ἀλλ᾽ οὐκ ἀντιστρέφει. Τὸ δὲ εἶδος καὶ ἡ ὕλη οὕτω πρὸς ἄλληλα ἔχουσιν ὥστε θάτερον, δηλονότι τὸ εἶδος, αἴτιον ὑπάρχειν τοῦ εἶναι τῆς ὕλης· οὐκοῦν, εἰ καὶ τὴν ὕλην ἀδύνατόν ἐστιν εἶναι τοῦ εἴδους χωρίς, τὸ μέντοι γε εἶδος εἶναι δύναται ἄνευ τῆς ὕλης. Ἡ μείζων σαφής ἐστιν. Ἡ ἐλάττων δείκνυται παρ᾽ αὐτοῦ συντόμως, ὅτι τὸ εἶδός ἐστιν ὃ δίδωσι τὸ εἶναι τῷ πράγματι, δηλονότι τῇ ὕλῃ· καὶ ἵνα μή τις οἰηθῇ ἄτοπον καὶ ἀνάρμοστον εἶναι τὸ εἶναί τι εἶδος χωρὶς ὕλης, δείκνυσι τοῦτ᾽ εὐλόγως συμβαίνειν. Τὸ γὰρ εἶδος, φησίν, οὐκ ἤρτηται τῆς ὕλης αὐτῷ τούτῳ τῷ εἶδος εἶναι, ἀλλὰ τοῖς εἴδεσι, τοῖς μὴ δυναμένοις ἄνευ ὕλης ὑπάρχειν, τοῦτο συμβαίνει, καθόσον ἀτελῆ εἴδη εἰσίν, οὐ καθόσον εἰσὶν εἴδη· τὸ δὲ ἀτελῆ ταῦτ᾽ εἶναι οὐδέν ἐστιν ἕτερον ἢ τὸ διεστάναι τῆς πρώτης ἀρχῆς, ἥτις ἐστὶ πρώτη ἐνέργεια καὶ εἰλικρινής, καὶ διὰ τοῦτο τὰ τῇ πρώτῃ ἀρχῇ πλησιέστερα εἴδη, οἷά εἰσιν οἱ ἄγγελοι, ὡς εἴδη τέλεια ὄντα, εἴδη εἰσὶ καθ᾽ ἑαυτὰ χωρὶς τῆς ὕλης ὑφεστηκότα· ὅθεν τὸ εἶδος, κατὰ τὸ γένος ὅλον ἑαυτοῦ, οὐ δεῖται τῆς ὕλης. Καὶ διὰ τοῦτο συμπεραίνει τὸ πρωτοτύπως αὐτῷ προκείμενον ὁ διδάσκαλος, λέγων ὡς ἐντεῦθεν συμβαίνει τὰς οὐσίας τῶν τοιούτων οὐσιῶν, τῶν ἄνευ ὕλης δηλονότι καὶ καθ᾽ αὑτὰς ὑφεστηκυιῶν, μὴ δύνασθαι εἶναι ἄλλο ἢ αὐτὰ τὰ εἴδη.

Ἀπορίαν δὲ ἔχει τὸ εἰρημένον περὶ τοῦ εἴδους, ὅτι φησὶ τὸ εἶδος μὴ ἠρτῆσθαι τῆς ὕλης αὐτῷ τούτῳ τῷ εἶδος εἶναι· δόξειε γὰρ ἂν μᾶλλον | ἐξ f. 65v
ἀνάγκης τοὔθ᾽ ἕπεσθαι· ὕλη γὰρ καὶ εἶδος ἀναφορικά εἰσιν· ἀλλὰ θάτερον τῶν ἀναφορικῶν, ᾗ τοιόνδε, ἤρτηται τοῦ λοιποῦ, οἷον ὁ πατὴρ αὐτῷ τῷ εἶναι πατὴρ ἤρτηται τοῦ υἱοῦ, καὶ τὸ ἀνάπαλιν. Ἀλλὰ δεῖ λέγειν, ὅτι τὸ εἶδος τριχῶς λαμβάνεσθαι δύναται· ἕνα μὲν τρόπον, ὡς τὸ μέρος τοῦ συνθέτου· δεύτερον δέ, ὃ μήτε κατὰ τὴν οὐσίαν μέρος ἐστὶ τοῦ συνθέτου, μήτε κατὰ τὸ εἶναι· τρίτον, ὃ κοινόν ἐστι τούτοις καθάπερ τι γένος αὐτῶν. Ἂν μὲν οὖν κατὰ τὸν πρότερον τρόπον διαλεγώμεθα, τὸ τοιοῦτον εἶδος

13-15 *οὐκοῦν — ἄνευ τῆς ὕλης* om L

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναφορικόν ἐστι πρὸς τὴν ὕλην, καὶ περὶ τοῦ τοιούτου ἀληθές ἐστι τὸ εἰρημένον, ὡς ἐξ ἀνάγκης ἤρτηταί πως τῆς ὕλης, καὶ ὅταν κεχωρισμένον ᾖ· καὶ περὶ τοῦ τοιούτου εἴδους οὔ φησιν ὁ διδάσκαλος ἐνταῦθα. Κατὰ δὲ τὸν δεύτερον τρόπον τὸ εἶδος λαμβανόμενον, οὐδαμῇ οὐδαμῶς ἐστι τῆς ὕλης ἠρτημένον διὰ τὸ μηδὲν εἶναι κοινὸν αὐτῷ καὶ τῇ ὕλῃ. Ἂν δὲ διαλεγώμεθα περὶ τοῦ εἴδους κατὰ τὸν τρίτον τρόπον, τότε τὸ εἶδος ἤρτηται κατά τι τῆς ὕλης, τουτέστιν ὅσον κατ' ἐκεῖνο τὸ εἶδος, ὃ μέρος εἶναι τοῦ συνθέτου δύναται, ἀλλ' οὐχ ἁπλῶς, ὅτι οὐ κατ' ἐκεῖνο τὸ εἶδος, ὃ μέρος εἶναι τοῦ συνθέτου οὐ δύναται· καὶ περὶ τοῦ εἴδους τοῦτον τὸν τρόπον θεωρουμένου διαλέγεται ἐνταῦθα ὁ διδάσκαλος, λέγων τὸ εἶδος αὐτῷ τῷ εἶδος εἶναι μὴ ἠρτῆσθαι τῆς ὕλης· εἰ γὰρ ἥρμοττε τῷ εἴδει, ᾗ εἶδός ἐστιν, ἥρμοττεν ἂν παντὶ εἴδει, ὅπερ οὐκ ἔστιν ἀληθὲς περὶ τοῦ ἀγγελικοῦ. Καὶ ὅτι περὶ τούτου τοῦ εἴδους διαλέγεται, δῆλόν ἐστι δι' ὧν ἐπήγαγεν, ὅτι τὸ εἶδος καθ' ὅλον τὸ γένος αὐτοῦ οὐκ ἤρτηται τῆς ὕλης.

## LXXIX.

### οθ'. Ὅπως οὐ δεῖ λέγεσθαι κυρίως τοὺς ἀγγέλους εἴδη, ἀλλὰ μᾶλλον ἐνεργείας ἢ ἐντελεχείας.

Δεῖ μέντοι γε εἰδέναι, ὅτι εἶδός ἐστι κυριώτατα ὃ τοῦ συνθέτου μέρος ἐστί, τὰ δ' ἕτερα εἴδη μᾶλλον δεῖ λέγεσθαι ἐντελεχείας ἢ εἴδη, διότι τὸ εἶδος εἴτουν ἡ μορφὴ κατὰ τὴν σημασίαν τῆς λέξεως ἀπὸ τοῦ μορφοῦν τι καὶ εἰδοποιεῖν λέγεται. Σαφὲς δέ ἐστιν, ὡς ἐκεῖνα τὰ εἴδη οὐδὲν ἄλλο μορφοῦσιν, ἀλλ' αὐτὰ μᾶλλον μορφοῦνται οἷον εἰπεῖν αὐτῷ τῷ εἶναι· τὰ δὲ εἴδη, τὰ ὡς μέρη τοῦ συνθέτου, μορφοῦσί τι, δηλονότι τὴν ὕλην· ὅθεν τὸ εἶδος, συνεσταλμένως μὲν λαμβανόμενον, ἀναφορικόν ἐστι πρὸς τὴν ὕλην, οὐ μὴν καὶ ἐξηπλωμένως.

*Ἐν τούτῳ τοίνυν διαφέρουσιν ἡ οὐσία τῆς συνθέτου οὐσίας.* — Νῦν ἀποδίδωσι τὴν διαφοράν, ἥ ἐστιν ἔν τε τῇ οὐσίᾳ τῶν συνθέτων φύσεων καὶ ἐν τῇ τῶν ἁπλῶν, καὶ φησὶν ἐν τούτῳ διαφέρειν αὐτάς, ἐν τῷ τὴν μὲν τοῦ συνθέτου οὐσίαν μὴ εἶναι μόνον ὕλην, μηδὲ μόνον εἶδος, ἀλλ' ἄμφω περιπτύσσεσθαι ὡς εἰπεῖν καὶ περιδεδράχθαι· ἀναθρῴσκει γὰρ ἐκ τῆς ἀμφοῖν τούτων συνθέσεως. Ἡ δὲ τοῦ ἁπλοῦ
f. 66 οὐσία εἶδός ἐστι μόνον. Ἐκ | δὲ ταύτης τῆς διαφορᾶς ἀκολουθοῦσιν ἄλλαι δύο διαφοραί· μία μέν, ὅτι ἡ οὐσία τοῦ συνθέτου πράγματος δύναται σημαίνεσθαι ὡς ὅλον καὶ ὡς μέρος, καὶ τοῦτο συμβαίνει διὰ τὸν τῆς ὕλης ἀφορισμόν, ὡς προείρηται, ἣν δύναται τὸ εἶδος ἁπλῶς μὲν ἀποκλεῖον ὡς μέρος σημαίνεσθαι, οἷον ἡ ἀνθρωπότης, ἀδιακρίτως δὲ καὶ ἀδιορίστως ἐγκλεῖον ὡς ὅλον σημαίνεσθαι, οἷον ἄνθρωπος· καὶ διὰ τὸ μὴ δύνασθαι τὸ

---

14 *καθόλου* S  27 *Ἐν τούτῳ τοίνυν διαφέρουσιν*: c. V, 2, p. 167, 16

Ε.Υ. Ζήσης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πραγματικὸν μέρος κατηγορεῖσθαι, ἀλλὰ τὸ ὅλον, ἑπομένως ἀκολουθεῖ ποτὲ μὲν αὐτὴν κατηγορεῖσθαι, τουτέστιν ὅταν σημαίνηται ὡς ὅλον, οἷον ἄνθρωπος· ποτὲ δὲ μή, ὅταν δηλονότι ὡς μέρος σημαίνηται, οἷον ἀνθρωπότης. Οὐ γὰρ δυνατόν ἐστι λέγειν, ὅτι ὁ ἄνθρωπός ἐστιν ἡ οὐσία αὐτοῦ, οἷον ἡ ἀνθρωπότης, ἀλλ' ἡ τοῦ ἁπλοῦ πράγματος οὐσία, ἥ ἐστι τὸ εἶδος αὐτοῦ, οὐ δύναται σημαίνεσθαι εἰ μὴ ὡς ὅλον, ἐπεὶ οὐδέν ἐστιν ἐν τοῖς τοιούτοις παρὰ τὸ εἶδος, ὡσανεὶ τὸ εἶδος δεχόμενον, ὃ δύναιτ' ἂν ἐγκλείεσθαι διὰ τῆς οὐσίας τρόπῳ τινί· καὶ διὰ τοῦτ' ἐπειδὴ ὡς ὅλον ἀεὶ σημαίνεται, ἀκολούθως καὶ ἀεὶ κατηγορεῖται· ὅθεν, ὅπως ἂν ποτε ληφθείη ἡ τοῦ ἁπλοῦ πράγματος οὐσία, εἴτε ἐξ ἀφαιρέσεως, εἴτε συγκεκριμένως, κατὰ τούτου κατηγορεῖται. Καὶ τοῦτο διὰ τοῦ Ἀβιγκένου βεβαιοῖ, εἶτα καὶ τὴν δευτέραν προστίθησι διαφοράν, ἑπομένην ἐκ τῆς πρώτης τῆς ἀνωτέρω τεθείσης, καὶ ἡ λέξις σαφής ἐστι.

## LXXX.

### π'. Ὅπως ἀληθής ἐστι κατηγορία αὕτη· „Ὁ Γαβριὴλ ἐστιν ἡ γαβριηλότης".

Δεῖ μέντοι γε ἐν τούτῳ σημειοῦσθαι τῷ μέρει, ὅτι κατὰ τὸν διδάσκαλον τοῦτον τὸ μὲν εἰπεῖν· ὁ Σωκράτης, ἢ ὁ ἄνθρωπος, ἐστὶν ἀνθρωπότης, οὐκ ἔστιν ὀρθῶς ἔχουσα κατηγορία· τὸ δὲ εἰπεῖν· ὁ Γαβριὴλ ἐστιν ἡ γαβριηλότης, ἵν' οὕτως εἴπω καθ' ὁμοιότητα, ἤ· ὁδὶ ὁ Γαβριὴλ ἐστιν ἡ γαβριηλότης, ἀληθής ἐστι κατηγορία· τὸ δ' αὐτὸ δεῖ νοεῖν καὶ περὶ τῶν ἄλλων ἀγγελικῶν εἰδῶν, εἰ καὶ τὰ ὀνόματα αὐτῶν ἀγνοοῦμεν, ὥστε διὰ πλειόνων ἐπεξελθεῖν τῷ λόγῳ. Ὅθεν ὁ Γαβριὴλ οὐκ ἔστιν ἄτομον, ὥσπερ ὁ Πέτρος, ἀλλ' εἶδος, ὥσπερ ὁ ἄνθρωπος· καὶ ὁδὶ ὁ Γαβριήλ, ἄτομον, ὥσπερ ὁδὶ ὁ ἄνθρωπος. Ἡ δ' αἰτία τοῦ ἀληθῆ ταύτην εἶναι τὴν κατηγορίαν ἐν τῷ γράμματι κεῖται στενῶς, τουτέστιν ὅτι ἡ γαβριηλότης, ὡς οὕτως εἰπεῖν, οὐδὲν ἀποκλείει ὅπερ ἐγκλείει ὁ Γαβριήλ, οὔτε διωρισμένως, οὔτε ἀδιορίστως· καὶ λέγω οὐδέν, ἐν ᾧ ἂν προσλαμβάνοιτο, διότι, εἰ καὶ ἡ γαβριηλότης ἐγκλείει τινὰ τρόπον τὸ εἶναι, ὅπερ ἀδιακρίτως καὶ ἀδιορίστως ἐγκλείει ὁ Γαβριήλ, οὐ μέντοι γε ἡ οὐσία προσλαμβάνεται ἐν τῷ εἶναι, ἀλλὰ μᾶλλον τὸ ἀνάπαλιν, καὶ διὰ τοῦτο οὐκ ἐμποδίζει τὴν κατηγορίαν.

## LXXXI.

### πα'. Διατὶ οἱ ἄγγελοι οὐ πληθύνονται κατὰ τὸν ἀριθμὸν ἐν τῷ αὐτῷ εἴδει.

Τὸ δ' αἴτιον τοῦ τοὺς | ἀγγέλους μὴ δύνασθαι πληθύνεσθαι κατὰ τὸν f. 66v
ἀριθμὸν ἐν τῷ αὐτῷ εἴδει οὐδέν ἐστιν ἕτερον ἢ τὸ μὴ προσλαμβάνεσθαι τὰς αὐτῶν οὐσίας ἔν τινι ὕλῃ, ἧς τῇ διαιρέσει δύναιντ' ἂν αὗται πολλα-

15 Titre omis dans L

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πλασιάζεσθαι· τὰ γὰρ εἴδη οὐδέποτε πληθύνονται κατ' ἀριθμὸν εἰ μὴ τῷ τῆς ὕλης πληθυσμῷ, εἰ εἶεν οὐσιώδη εἴδη· ἤ, κἂν ὦσιν ἐπουσιώδη εἴδη, τῷ πληθυσμῷ τῶν ὑποκειμένων ἐν οἷς προσλαμβάνονται. Ὅθεν οὐκ ἂν ἠδύναντο δύο λευκότητες εἶναι κεχωρισμέναι ἀριθμῷ διαφέρουσαι, αἵ γε τὸν ἀριθμὸν καὶ τὸ πλῆθος ἐκ τῶν ὑποκειμένων σφίσι λαμβάνουσιν· ὅθεν οὐ λέγεται ἥδε ἡ λευκότης, εἰ μὴ τῷ εἶναι ἐν τῳδὶ τῷ ὑποκειμένῳ, ὥστε, εἰ γένοιντό ποτε δύο λευκότητες κεχωρισμέναι, εἶεν ἂν εἴδει διαφέρουσαι.

## LXXXII.

### πβ'. Εἰ δύνανται δύο συμβεβηκότα ἀριθμῷ διαφέρειν, κεχωρισμένα τοῦ ὑποκειμένου.

Δεῖ δὲ εἰδέναι καὶ ὅτι ἄλλως ἐπὶ τῆς ποσότητος, καὶ ἄλλως ἐπὶ τῆς ποιότητος ἔχει κατὰ τουτονὶ τὸν διδάσκαλον. Ἡ μὲν γὰρ λευκότης οὐδεμιᾷ μηχανῇ δύναται εἶναι χωρὶς τοῦ ὑποκειμένου, οὔτε ποιότης τις ἄλλη· εἰ δὲ ἐγίνετο, οὐκ ἂν ἦν αἰσθητὸν εἶδος ἀλλὰ νοητόν, οὐδὲ μερικὸν ἀλλὰ καθόλου, καὶ οὕτως ἦν ἂν κεχωρισμένον εἶδος, ὥσπερ οἱ ἄγγελοι. Ἔστι δὲ αἰσθητὸν εἶδος καὶ μερικὸν κατά γε τὴν ὕπαρξιν, οὐκοῦν ἔχει τὸ μερικὸν εἶναι καὶ αἰσθητὸν διὰ τῆς ποσότητος· ἔστι μὲν αἰσθητὸν ὡς μερικὸν ὡς ἐν τῇδε τῇ ποσότητι ὄν· κἀντεῦθέν ἐστι τὸ εἴπερ οἷόν τε ἦν πλείους εἶναι κεχωρισμένας λευκότητας, εἴδει ἂν αὐτὰς διαφέρειν, οὐκ ἀριθμῷ. Τῇ δέ γε ποσότητι καθ' αὑτὴν ἡ θέσις ἁρμόττει, ἥτις οὐχ ἁρμόττει τῇ ποιότητι καθ' αὑτήν, ἧς δὴ θέσεως λόγῳ δύναται μένειν ἡ ποσότης ἄτομος, καὶ χωρισθεῖσα τοῦ συνθέτου, εἰ καὶ τῆς ἀτομότητος ἐν τῷ ὑποκειμένῳ προσείληφε τὴν ἀρχήν. Ἀεὶ μέντοι γε ἔχει καὶ διατηρεῖ ἐν τῇ ἑαυτῆς φύσει τὴν πρὸς τὸ ὑποκείμενον ἐπιτηδειότητα, καὶ διὰ τοῦτο ὁ τοῦ συμβεβηκότος λόγος οὐκ ἀπόλλυται ταύτῃ· οὐ γάρ ἐστιν ἐκ τοῦ λόγου τοῦ συμβεβηκότος τὸ κατ' ἐνέργειαν ἐνυπάρχειν, ἀλλὰ μόνον τὸ κατ' ἐπιτηδειότητα. Ἐντεῦθεν γοῦν ἀποδοθῆναί τις ἁμηγέπῃ δύναται λόγος καὶ τοῖς ἀποροῦσι περὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας, ὅπως δύο ποσότητες ἀριθμῷ διακεκριμέναι ἐν δυσὶ θυσιαστηρίοις εὑρίσκονται ἄνευ ὑποκειμένου. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ἀναβεβλήσθω νῦν· τῆς δὲ προκειμένης ἡμῖν ἐξηγήσεως ἀνθεκτέον.

*Αἱ τοιαῦται τοίνυν οὐσίαι.* — Δείξας ὁ διδάσκαλος ὅπως ἐν ταῖς ἁπλαῖς οὐσίαις τὸ εἶδος αὐτῶν ἐστιν ἡ οὐσία αὐτῶν, νῦν ἐν τῷ μέρει τούτῳ ζητεῖ καὶ διασαφεῖ πότερόν ἐστί τις σύνθεσις ἐν ταῖς οὐσίαις, ἃς
f. 67 ἁπλᾶς προσηγόρευσεν, ἢ παντοία | ἁπλότης ἐστὶν ἐν αὐταῖς. Πρῶτον μὲν οὖν διασαφεῖ τὴν ἐνδεχομένην αὐτοῖς ἀποδίδοσθαι σύνθεσιν, τίς ἐστι· δεύτερον, ἐκ τῆς συνθέσεως ταύτης τὴν αἰτίαν ἀποδίδωσι τοῦ πλήθους

33 *Αἱ τοιαῦται τοίνυν οὐσίαι*: c. V, 3, p. 168, 3

ΙΩΑΝΝΙΝΑ 2006

αὐτῶν. Τὸ πρῶτον αὖθις εἰς τρία διαιρεῖται μέρη κατὰ τοὺς τρεῖς τρόπους τῆς συνθέσεως, οὓς ἀποδίδωσι. Σύγκεινται γάρ, φησίν, ἐκ τῆς οὐσίας καὶ τοῦ εἶναι, ἐκ τῆς ἐντελεχείας καὶ τῆς δυνάμεως, καὶ ἐκ τοῦ ᾧ ἔστι, καὶ ὅπερ ἐστίν. Περὶ δὲ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, τίθησι τὸν πρότερον τῆς συνθέσεως τρόπον· δεύτερον, ἀποσκευάζεταί τινα ἀπορίαν.

Πρὸ πάντων τοίνυν τιθεὶς τὸν σκοπὸν αὐτοῦ καὶ τὸ βούλημα, φησὶν ὡς, εἰ καὶ αἱ τοιαῦται οὐσίαι εἴδη μόνον εἰσὶν ὕλης χωρίς, ὅμως οὐκ ἔστιν ἐν αὐταῖς παντοία ἁπλότης οὐδ' εἰλικρινεῖς εἰσιν ἐνέργειαι, καθάπερ φαμὲν τὸν Θεὸν εἶναι, ἀλλ' ἔχουσιν ἐν ἑαυταῖς δύναμίν τινα ἀναμεμιγμένην. Ἀποδείκνυσι δὲ πρῶτον ἄνωθεν λαμβάνων, ὅτι εἰσὶν τοιαῦται οὐσίαι σύνθετοι ἐξ οὐσίας καὶ τοῦ εἶναι, καὶ ὁ λόγος αὐτῷ τοιοῦτος τίς ἐστιν. Ὅπερ ἐστὶν ἔν τινι μὴ ἐκ τοῦ λόγου ἢ τῆς ἐννοίας τῆς οὐσίας αὐτοῦ, τοῦτο ἐπείσακτόν ἐστι καὶ ποιοῦν σύνθεσιν μετὰ τῆς οὐσίας αὐτῆς· ἀλλὰ τὸ εἶναι οὕτως ἔχει πρὸς τὴν οὐσίαν· ἔνεστι γὰρ αὐτῇ, καὶ οὐκ ἔστιν ἐκ τῆς ἐννοίας αὐτῆς· τὸ εἶναι ἄρα ποιεῖ σύνθεσιν μετὰ τῆς οὐσίας. Ἡ μείζων ἐστὶν ἐναργής· ἡ γὰρ λευκότης, ἅτε ἐνυπάρχουσα τῷ ἀνθρώπῳ, μὴ μέντοι ἐκ τῆς ἐννοίας τῆς οὐσίας αὐτοῦ τυγχάνουσα, ἐπεισοδιῶδες τί ἐστι καὶ σύνθεσιν ποιοῦν μετ' αὐτοῦ. Ἡ δὲ ἐλάττων δείκνυται· πᾶσα γὰρ οὐσία νοεῖσθαι δύναται χωρὶς τοῦ νοεῖσθαί τι περὶ τοῦ εἶναι αὐτῆς· δύναμαι γὰρ νοεῖν τί ἐστιν ἄνθρωπος ἢ φοῖνιξ, οὐ νοῶν εἰ ἄρα εἰσὶν ἐν τῇ τῶν ὄντων φύσει. Καὶ συμπεραίνει ὅτι ἐντεῦθεν ἑπόμενόν ἐστιν διαφορὰν εἶναι ἐν αὐταῖς τοῦ εἶναι καὶ τῆς οὐσίας, καὶ ἑπομένως τοῦ εἶναι μετὰ τῆς οὐσίας γίνεσθαι σύνθεσιν ἐν αὐταῖς.

## LXXXIII.

### πγ'. Πῶς δεῖ νοεῖν τοῦτο τὸ ζήτημα καὶ περὶ τίνος εἶναι.

Ἔστι δὲ ῥᾴδιον συνιδεῖν ἐκ τούτων τῶν λόγων, ὅτι ὁ διδάσκαλος διαλέγεται περὶ τοῦ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως, οὐ περὶ τοῦ εἶναι τῆς οὐσίας· ἐν γὰρ τῇ ἀποδείξει τῆς ἐλάττονος προτάσεως ἔλεγε δυνατὸν εἶναι νοεῖν τὴν οὐσίαν τινὸς ἄνευ τοῦ νοεῖν αὐτὸ εἶναι ἐν τῇ τῶν πραγμάτων φύσει· τοῦτο δέ ἐστι τὸ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως. Ἀλλὰ σαφές ἐστιν ὡς οὐ δύναμαι νοεῖν τὴν οὐσίαν τοῦ πράγματος, μὴ νοῶν καὶ τὸ εἶναι τῆς οὐσίας. Ὅθεν, εἰ καὶ ἡ οὐσία καὶ τὸ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως πραγματικῶς δια|φέρουσιν, ἡ μέντοι f. 67r
γε οὐσία καὶ τὸ εἶναι τῆς οὐσίας ἔνεισι πραγματικῶς, καὶ διὰ τοῦτο ὁσάκις ἂν ὁ διδάσκαλος λέγῃ συγκεῖσθαί τι ἐκ τοῦ εἶναι καὶ τῆς οὐσίας, ὡς ἐνταῦθα περὶ τῶν ἁπλῶν οὐσιῶν ἔλεγε, νοεῖσθαι δεῖ τοῦτο περὶ τοῦ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως, οὐ περὶ τοῦ εἶναι τῆς οὐσίας.

Ε.Υ.Δ.Π.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LXXXIV.

### πδ'. Πῶς ἡ ἐκ τοῦ εἶναι καὶ τῆς οὐσίας σύνθεσις νοεῖται περὶ τοῦ αὐτοῦ εἶναι.

Πορίζονται δέ τινες ἐκ τῶν τοῦ διδασκάλου λόγων καὶ τοῦτο, ὡς οὐ δεῖ λέγεσθαί τι συγκεῖσθαί τι ἐκ τῆς οὐσίας καὶ τοῦ εἶναι, ὡς ἂν μὴ ἐντεῦθεν νοηθῇ τὸ εἶναι ἐνδότερον τυγχάνειν καὶ ἐκ τῆς οὐσίας τοῦ πράγματος, ἀλλὰ δεῖ μᾶλλον λέγεσθαι συγκεῖσθαι ἐκ τῆς οὐσίας μετὰ τοῦ εἶναι, ὃ πῶς ἐστιν ἀληθὲς προϊὼν ὁ λόγος δηλώσει.

## LXXXV.

### πε'. Ὅπως ἔχουσιν ἐν τῷ Θεῷ τὸ εἶναι καὶ ἡ οὐσία.

Δείξας τοίνυν ὁ διδάσκαλος, ὡς ἐν ταῖς ἁπλαῖς οὐσίαις ἔστι σύνθεσις ἐξ οὐσίας καὶ τοῦ εἶναι, ἐπεὶ ταῦτα ἐν ταύταις διενηνόχασι πράγματι, ἐπεὶ δυνατὸν ἦν τινα ἀπορεῖν εἰ καὶ πάσαις ταῖς ἁπλαῖς οὐσίαις τοῦτο συμβέβηκε, προσδιορίζεται ὅτι· „Πλὴν εἰ μή τις εἴη οὐσία καὶ πρᾶγμα οὗ ἡ οὐσία ἐστὶν αὐτὸ τὸ εἶναι αὐτοῦ“· τοῦτο δὲ οὐδὲν ἄλλο δύναται εἶναι εἰ μὴ ἓν καὶ πρῶτον, καὶ τοῦτο δείκνυσι λόγῳ τοιῷδε.

Ἐκεῖνο οὐ δύναται πληθύνεσθαι, ἐν ᾧ οὐ δυνατόν ἐστιν αἰτίαν εἶναί τινα πληθυσμοῦ· ἀλλ' ἐν ἐκείνῳ τῷ πράγματι οὗτινος οὐσία ἐστὶν αὐτὸ τὸ εἶναι αὐτοῦ οὐ δυνατόν ἐστι πίπτειν τὸν λόγον τοῦ πληθυσμοῦ· ἄρα καὶ τὰ λοιπά. Ἡ μείζων σαφὴς ἐστιν αὐτόθεν. Ἡ ἀπόδειξις τῆς ἐλάττονος τοιαύτη ἐπάγεται. Τρισὶ τρόποις δυνατόν ἐστιν ἕν τι πληθύνεσθαι· ἢ προσθήκῃ διαφορᾶς τινος, ὥσπερ ἡ τοῦ γένους φύσις εἰς εἴδη πληθύνεται· ἢ προσλαμβανομένης τῆς φύσεως ἐν διαφόροις ὕλαις, ὥσπερ ἡ φύσις τοῦ εἴδους ἐν πολλοῖς ἀτόμοις πολλαπλασιάζεται· ἢ τῷ θάτερον μὲν εἶναι ἀπολελυμένον, θάτερον δὲ ἐν ἄλλῳ προσειλημμένον, ὥσπερ εἰ ἦν τις θέρμη κεχωρισμένη, ἣν ἂν ἄλλη προδήλως παρὰ τὴν ἀχώριστον θέρμην ἐξ αὐτοῦ δήπου τοῦ κεχωρίσθαι. Δῆλον δέ ἐστιν ὡς, ἐὰν θῶμέν τι πρᾶγμα ὅπερ ἐστὶ τὸ εἶναι αὐτοῦ, οὕτω δηλονότι ὥστε αὐτὸ τὸ εἶναι αὐτοῦ τυγχάνειν ὑφεστώς, καθάπερ καὶ ἡ οὐσία αὐτοῦ ὑφέστηκεν, οὐ μεθέξει πῃ τοῦ πλήθους οὔτε κατὰ τὸν πρότερον τρόπον, τουτέστι προσθήκῃ διαφορᾶς· οὕτω γὰρ οὐκ ἂν ἦν εἶναι μόνον, ἀλλ' εἶναι καὶ εἶδός τι, ὅπερ ἐστὶν ἐναντίον τοῖς προϋποτεθειμένοις· ἀλλ' οὐδὲ κατὰ τὸν δεύτερον τρόπον, τουτέστι προσθήκῃ τῆς ὕλης· τοῦτο δ' ἂν εἴη καὶ ἀδυνατώτερον· οὕτω
f. 68 γὰρ οὐδ' ἂν ἦν ὑφεστὼς τὸ εἶναι αὐτοῦ, ἀλλὰ ἑτέρου | δεόμενον πρὸς τὸ ὑφεστάναι τῆς ὕλης, ὅπερ ἐστὶ κατὰ τῶν προϋποτεθειμένων· ἀλλ' οὐδὲ κατὰ τὸν τρίτον τρόπον, δηλονότι τῷ ἀπολελυμένῳ τε καὶ προσειλημμένῳ· ὑπόκειται γὰρ τὸ τοιοῦτον πρᾶγμα ἀπολελυμένον ἔχειν τὸ εἶναι καὶ

οὐδενὶ τρόπῳ προσειλημμένον ἔν τινι, ἅτε ὑφεστὸς ἔχον αὐτό. Παρῃτήσατο δὲ τοῦτο δεῖξαι, ὡς ἐκ τοῦ προηγουμένου σαφές ὄν. Ἐπειδὴ γὰρ τὸ εἶναι τῆς φύσεως ἐκείνης οὐ προσίεται τὴν τῆς ὕλης κοινωνίαν· ὑφέστηκε γὰρ καθ' αὑτό· ἐντεῦθεν οὐδὲ τῷ ἀπολελυμένῳ καὶ προσειλημμένῳ πολλαπλασιάζεσθαι δύναται. Καταλείπεται τοίνυν τὸ τοιοῦτον πρᾶγμα, ὅπερ ἐστὶ τὸ εἶναι αὐτοῦ, μὴ δύνασθαι εἶναι εἰ μὴ ἕν, κἀντεῦθεν ἑπομένως συμβαίνει τῶν ἄλλων πάντων τῶν παρ' αὐτὸ διαφέρειν τὸ εἶναι τῆς οὐσίας ἢ τῆς φύσεως, ἢ τοῦ εἴδους αὐτῶν· ἕν τι γὰρ ταῦτα πάντα σημαίνουσι. Καὶ οὕτω καλῶς συμπεραίνεται ἐν ταῖς νοήσεσι τὸ εἶναι παρὰ τὴν οὐσίαν αὐτῶν ὑπάρχειν.

Ἐπεὶ δὲ ἔδειξεν ὅπως ἐν ταῖς ἁπλαῖς οὐσίαις ἡ τοῦ εἶναι καὶ τῆς οὐσίας εὑρίσκεται σύνθεσις, ἑπομένως δείκνυσιν ὅπως ἐστὶν ἐν αὐταῖς ἡ τῆς δυνάμεως καὶ ἐνεργείας σύνθεσις λόγῳ τοιῷδε. Ἅπαν δεχόμενόν τι ἀπό τινος ἔχει πρὸς αὐτὸ τὸ λαμβανόμενον ὡς δύναμις πρὸς ἐντελέχειαν· ἀλλὰ πᾶν κτίσμα δέχεται τὸ εἶναι ἀπό τινος· πᾶσα ἄρα τοιαύτη οὐσία, ἡ δεχομένη τὸ εἶναι, ἔχει πρὸς αὐτὸ τὸ εἶναι ὡς δύναμις πρὸς ἐνέργειαν. Ἡ μείζων ἐναργής· τὸ γὰρ λαμβάνειν ἰδίωμα τῆς ὕλης ἐστίν, ἥτις τό γε ἐφ' ἑαυτῇ δυνάμιν σημαίνει καὶ δύναμίς ἐστιν εἰλικρινής. Ἡ ἐλάττων οὑτωσὶ δείκνυται. Πᾶν ὅπερ προσήκει τινὶ ἢ ἐκ τῶν ἀρχῶν τῆς αὐτοῦ φύσεως κτίζεται, ὡς τὸ γελαστικὸν ἐν ἀνθρώπῳ, ἢ ἐπεισέρχεται ἔκ τινος ἀρχῆς ἐξωτερικῆς, ὡς τὸ φῶς ἐν ἀέρι ἐκ τῆς τοῦ ἡλίου ἐπιρροῆς· ἀλλ' ἀδύνατόν ἐστιν αὐτὸ τὸ εἶναι ἐξ αὐτοῦ τοῦ εἴδους ἢ τῆς οὐσίας παρῆχθαι τοῦ πράγματος, ὡς ἐξ αἰτίας λέγω ποιητικῆς· εἵπετο γὰρ ἂν ἐντεῦθεν εἶναί τι αἴτιον ἑαυτοῦ καὶ προάγειν ἑαυτὸ εἰς τὸ εἶναι, ὅπερ ἀδύνατον. Δεῖ τοίνυν παντάπασι τὸ τοιοῦτο πρᾶγμα οὗ τὸ εἶναι ἐστὶν ἄλλο παρὰ τὴν φύσιν αὐτοῦ ἔχειν ἀπ' ἄλλου τὸ εἶναι. Καὶ ἵνα μηδεὶς ὑπολάβῃ πάντα τὰ ἔχοντα τὸ εἶναι ἔχειν αὐτὸ παρ' ἄλλου, προστίθησιν ὅτι τοῦτο πᾶσιν ὑπάρχει πλὴν τῆς πρώτης αἰτίας. Καὶ τὸν λόγον προστίθησι. Πᾶν γάρ, φησί, δι' ἕτερον ὂν ἐξ ἀνάγκης ἀνάγεται πρὸς τὸ δι' ἑαυτὸ ὂν ὡς πρώτην αἰτίαν. Οὐκοῦν δεῖ εἶναί τι τὸ αἴτιον τοῦ εἶναι πᾶσι τοῖς οὖσι διὰ τὸ αὐτὸ τυγχάνειν εἶναι μόνον δι' ἑαυτό· ἄλλως γάρ, ἦν ἂν ἐπ' | ἄπειρον ἐν τοῖς αἰτίοις ἡ πρόοδος, f. 68ʳ
εἴπερ ἅπαν ὅπερ οὐκ ἔστιν εἶναι μόνον αἰτίαν ἔχει τοῦ ἰδίου εἶναι, ὡς εἴρηται· κἀντεῦθεν συμπεραίνει ἀσφαλῶς, ὡς ἄρα ἡ νόησις εἶδός ἐστι καὶ εἶναι, καὶ ἔχει τὸ εἶναι αὐτῆς ἀπὸ τοῦ πρώτου ὄντος, ὅπερ εἶναι μόνον ἐστί· τοῦτο δ' ἔστι, φησίν, ἡ πρώτη αἰτία, ἥτις ἐστὶν ὁ Θεός. Καὶ οὕτω τελευταῖον συμπεραίνει ὡς, ἐπειδὴ ἡ οὐσία λαμβάνει τὸ εἶναι, ἡ οὐσία ἕξει τόπον δυνάμεως καὶ τὸ εἶναι λόγον ἐντελεχείας, καὶ οὕτως αἱ νοήσεις σύνθετοι ἔσονται ἐκ δυνάμεως καὶ ἐντελεχείας ὥσπερ ἐκ τοῦ εἶναι καὶ

1 *ὑφεστὸς* sic codd.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῆς οὐσίας, ὡς εἴρηται πρότερον. Οὐ μέντοι γε διὰ τοῦτο δεῖ λέγειν αὐτὰς ἐξ ὕλης συντεθεῖσθαι καὶ εἴδους, εἰ μὴ ὁμωνύμως· τὸ γὰρ πάσχειν, τὸ δέχεσθαι, τὸ ὑποκεῖσθαι καὶ πάντα δὴ τὰ τοιαῦτα ὁμωνύμως ταῖς νοεραῖς οὐσίαις ἀποδιδόαμεν, καθάπερ εἴρηται πρότερον, ἂν δοκοῦσιν ἁρμόττειν τῷ πράγματι τῷ λόγῳ τῆς ὕλης, ὡς Ἀβερόης φησὶν ἐν τρίτῳ τῶν περὶ ψυχῆς. Ἡ μὲν οὖν τοῦ διδασκάλου λέξις κἀνταῦθα σαφὴς ἦν, ὥστε καὶ ὑφ' ἡμῶν κατ' ἐπιδρομὴν ἐφωδεύθη, μηδὲν σχεδὸν αὐτῇ προστεθεικότων οἴκοθεν εἰς σαφήνειαν.

## LXXXVI.

### πς'. Ὅπως τὰ ἴδια συμβεβηκότα οὐ γίνονται κυρίως ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ πράγματος εἰ μὴ ὡς ἐξ ὑποκειμένου.

Ἀλλ' ἐπειδὴ μὴ γίνεσθαι τὸ εἶναι παρὰ τοῦ εἴδους ὡς ἀπ' αἰτίας ποιητικῆς ἔλεγεν, περὶ τοῦ δευτέρου τρόπου τῆς συνθέσεως τὸν λόγον ποιούμενος, ἐπέρχεται ταὐτὸ δὴ τοῦτο καὶ περὶ τῶν συμβεβηκότων πολλῷ μᾶλλον φρονεῖν, ὡς οὐδ' αὐτὰ γίνονται ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ πράγματος ὡς ἐξ αἰτίας ποιητικῆς· οὐδὲν γάρ ἐστιν ἕτερον οὕτως ἔνδοθεν τῷ εἴδει παρεπόμενον ὡς τὸ εἶναι, διὸ καὶ κοινῶς λέγεται παρὰ πάντων, ὅτι τὸ εἶναι τοῦ εἴδους ἐστὶν ἀποτέλεσμα, ὅπερ οὐχ οὕτω δεῖ νοεῖσθαι ὡς γινομένου τοῦ εἶναι παρὰ τοῦ εἴδους ὡς ἀπ' αἰτίας ποιητικῆς, ἀλλ' ὡς ὄντος ἀποτελέσματος αὐτοῦ καὶ ἔργου εἰδικοῦ· ἔστι γάρ τι καὶ τὸ εἶδος τῶν αἰτίων, ὡς τῷ Φιλοσόφῳ δοκεῖ. Εἰ γοῦν τὸ εἶναι μὴ ἔστι παρὰ τοῦ εἴδους ὡς αἰτίας ποιητικῆς, σχολῇ γε τὰ ἄλλα ἔσται συμβεβηκότα παρὰ τοῦ εἴδους οὕτως, ἢ παρὰ τῆς ὕλης καὶ τοῦ εἴδους ὁμοῦ ὡς ἀπ' αἰτίων ποιητικῶν, ἀλλὰ λέγονται γίνεσθαι παρ' αὐτῶν καθόσον αὐτῶν μεσιτευόντων προάγονται, διότι ἐκ τῆς ἑνώσεως αὐτῶν τῶν οὐσιωδῶν ἀρχῶν ἀναθρῴσκουσι, καὶ εἰ δεῖ περὶ τούτων ἀκριβολογεῖσθαι ὡς οἷόν τε, ἐκεῖθεν προάγονται καὶ ταῦτα ποιητικῶς ὅθεν αἱ τούτων ἀρχαὶ προάγονται, ἀλλὰ διὰ τὸ τὴν ποιητικὴν αἰτίαν ἐκείνην μὴ προάγειν αὐτὰ εἰ μὴ μεσιτευουσῶν πως τῶν ἀρχῶν ἐκείνων, αἷς αὐτὰ φυσικῶς ἕπονται, διὰ τοῦτο λέγεται γίνεσθαι ταῦτα ἐκ τῶν ἀρχῶν τούτων.
f. 69 Ἢ δυνατόν ἐστι λέγειν, ὡς ἡ ὕλη καὶ τὸ εἶδος αἴτια | εἰσὶ τῶν συμβεβηκότων τῷ ὑποκεῖσθαι σφίσι, καθόσον αὐτὰ δηλονότι προσίενται καὶ προσλαμβάνουσιν, ὡς ἐν τῷ πρώτῳ τῶν φυσικῶν φησιν ὁ Φιλόσοφος, ὅτι ἡ ὕλη μετὰ τοῦ εἴδους αἰτία ἐστὶ πάντων τῶν συμβεβηκότων τῶν ἐν αὐτῇ, ὡς μητήρ· δῆλον δέ ἐστιν, ὡς ἡ μητὴρ οὐκ ἔστιν αἰτία ποιητικὴ ἐν τῇ γενέσει τοῦ ζῴου, ἀλλὰ μᾶλλον δεχομένη τε καὶ λαμβάνουσα, ὥσπερ οὐδὲ ἡ γῆ ἐν τοῖς ἀπ' αὐτῆς φυομένοις.

Οἶδα δέ τινας ἐγὼ διαιροῦντας τὸν περὶ τῶν συμβεβηκότων λόγον· φασὶ γὰρ τῶν συμβεβηκότων τὰ μὲν εἶναι κοινά, τὰ δὲ ἴδια πάθη· καὶ τῶν τοιούτων παθῶν τὰ μὲν ἐνεργείας εἶναι τοῦ ὑποκειμένου ἢ ἑπόμενα

ΙΩΑΝΝΙΝΑ 2006

ταῖς ἐνεργείαις αὐτοῦ, ὥσπερ τὸ νοεῖν ἐν ἀνθρώπῳ ἴδιον εἶναι πάθος καὶ ἐνέργειαν αὐτοῦ, τὸ δὲ δεκτικὸν ἐπιστήμης εἶναι ὡς ἑπόμενον τῇ τοῦ νοεῖν ἐνεργείᾳ· τὰ δὲ μήτ' ἐνεργείας εἶναι μήτε τῇ ἐνεργείᾳ ἑπόμενα, ἀλλὰ μᾶλλον ἐπιγινόμενα ἔξωθεν, πεφυκέναι μέντοι πως τὸ ὑποκείμενον πρὸς τὴν τούτων ὑποδοχήν, ὥσπερ τὸ λάμπειν τῷ διαφανεῖ ἔξωθεν μὲν ἐπιγίνεται, ἔχει μέντοι τινὰ πρὸς τὸ λάμπειν τὸ διαφανὲς ἐπιτηδειότητα τελειουμένην αὐτῷ τῷ φωτί, ὅπερ ποιητικῶς ἐκ τῆς φύσεως τοῦ φωτεινοῦ σώματος πρόεισι. Τούτων τοίνυν οὕτω διῃρημένων, τὰ μὲν κοινὰ συμβεβηκότα φασίν, ὡς δὲ καὶ τὰ ἴδια πάθη τὰ ἔξωθεν προϊόντα, οὐκ ἐκ τῆς ὕλης γίνεσθαι καὶ τοῦ εἴδους ποιητικῶς, ἀλλὰ μόνον συνεργεῖν αὐτοῖς τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συνεστὼς ὑποκείμενον· οὔτε γὰρ ἡ ἔκλειψις τῆς σελήνης ἱκανῶς ἐκ τῶν τῆς σελήνης ἀρχῶν γίνεται, ἀλλὰ μᾶλλον ἐκ τοῦ τὴν γῆν ἐμφράττειν αὐτῇ τὸν ἥλιον παρεμπίπτουσαν, ὅπερ ἐστὶν ἐξωτερική τις αἰτία συνεργάζεται μέντοι τὸ ὑποκείμενον τῆς σελήνης τῇ τοιᾷδε κινήσει· οὔτε τὸ διαφανὲς ἱκανόν ἐστιν αἴτιον ποιητικὸν τοῦ λάμπειν, ὅπερ ἐστὶν ἐν αὐτῷ· οὐ γὰρ ἐκ τῶν τοῦ διαφανοῦς ἀρχῶν γίνεται, ἀλλὰ τῇ παρουσίᾳ τοῦ λάμποντος σώματος· συνεργεῖ μέντοι γε καὶ αὐτὸ φύσει τῇ πρὸς τὸ λάμπειν ῥοπῇ· ἅπαν γὰρ δεόμενον τελειοῦσθαι ῥέπει πως πρὸς τὸ δυνάμενον τελειοῦν, τὸ δὲ φῶς, τελειότης ἐστὶ τοῦ διαφανοῦς, καθό ἐστι τὸ διαφανὴς ἐνεργείᾳ, ὡς ἐν τῷ δευτέρῳ τῶν περὶ ψυχῆς φησὶν ὁ Φιλόσοφος. Ἀλλὰ μὴν καὶ ἡ λευκότης ἐν τῷ σώματι οὐκ ἐκ τῶν ἀρχῶν τοῦ σώματος προῆκται ποιητικῶς, ἀλλὰ φέρει μέν τινα πρὸς τοῦτο συντέλειαν τὸ σῶμα ὡς δεκτικὸν τῆς λευκότητος καὶ τῷ ᾡδέ πως συμπεπλέχθαι ὥστε λευκότητος εἶναι δεκτικόν, οὐχ ἑτέρας ποιότητος, καὶ μέτρῳ τοιῷδε· τὸ μέντοι τῆς τοιᾶσδε | συμπλοκῆς αἴτιον f. 69v
ἔξωθέν ἐστιν, πρὸς ὃ δὴ μᾶλλον δυνάμει πως ἐστὶ τὸ τῇ λευκότητι ὑποκείμενον σῶμα, ὡς ἐκεῖθεν ἐνδιδομένης αὐτῷ τῆς τοῦ τοιόνδε εἶναι ἐντελεχείας. Τὰ δὲ ἴδια πάθη, φασίν, ἅπερ ἐνέργειαι, ἢ ἑπόμενα ταῖς ἐνεργείαις εἰσίν, ἐκ τῶν ὑποκειμένων αὐτῶν ποιητικῶς γίνονται· ὡς γὰρ ἡ μεταβολὴ ποιεῖ γινώσκειν τὴν ὕλην, οὕτως ἡ ἐνέργεια τὸ εἶδος τεκμηριοῖ, κατὰ τὸν Ἀβερόην ἐν πρώτῳ τῶν φυσικῶν. Οὕτω τοίνυν πᾶσα ἐνέργεια πρόεισιν ἐκ τοῦ εἴδους, καὶ εἴ τι τῇ ἐνεργείᾳ ἕπεται. Ἐπεὶ δὲ ἔνια τῶν ἰδίων παθῶν ἐνέργειαί εἰσιν, ἢ ἑπόμενα ταῖς ἐνεργείαις, ὡς εἴρηται, τὰ τοιαῦτα ποιητικῶς ἐκ τοῦ εἴδους προΐασιν, ὥστε ἐκ τῶν τοῦ ὑποκειμένου ἀρχῶν ταῦτα ποιητικῶς γίνονται. Οὗτοι δὲ διαιροῦσι καὶ τὸ ποιητικόν. Ἔστι μὲν γάρ, φασί, τὸ κινήσει ποιοῦν καὶ μεταβολῇ, ὥσπερ ὁ οἰκοδόμος ποιεῖ τὴν οἰκίαν· οὕτω δὲ οὐκ ἔστι τὸ ὑποκείμενον ποιητικὸν τοῦ ἐν αὐτῷ πάθους· ἔστι δὲ τὸ ποιοῦν ἁπλῇ τινι προβολῇ, καὶ οὕτως ἐστὶ τὸ ὑποκείμενον τοῦ ἰδίου πάθους ποιητικόν. Κατὰ δὲ τὸν πρότερον τοῦ ποιοῦντος τρόπον, ὑπὸ τοῦ γεννῶντος τὰ τοιαῦτα πάθη ἐνδίδοται, ὑφ' οὗ καὶ τὸ εἶδος αὐτοῦ· ἀλλ' ἐξ ἐκείνου μὲν

39 *αὐτοῦ* om L

Ε.Υ.Δ ... ΙΩΑΝΝΙΝΑ 2006